www.tezaurliturgic.ro

# TEZAUR LITURGIC

## 3 IULIE

## GHERASIM MIKRAGHIANANITUL

# SLUJBA

# SF.CUVIOS-MUCENIC

# GHERASIM

# KARPENISIOTUL

# DE LA

# CONSTANTINOPOL

ATENA,2010


ΑΠΟϹΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗϹ ΕΚΚΛΗϹΙΑϹ ΤΗϹ ΕΛΛΑΔΟϹ

# 03 ΙΟΥΛΙΟΣ
# ΓΕΡΑΣΙΜΟΣ
# ΝΕΟΣ ΟΣΙΟΜΑΡΤΥΣ
# ΑΚΟΛΟΥΘΙΑ

**Ποίημα Γερασίμου Μοναχοῦ Μικραγιαννανίτου**

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ὅτε, δι’ ἀπάτης τοῦ ἐχθροῦ, ἐκ νεανικῇ ἡλικίᾳ, ἀπεχωρίσθης Χριστοῦ, τότε γνοὺς ὃ πέπονθας μέγα ὀλίσθημα, ἀσεβείας τὰ θήρατρα, διέῤῥηξας μάκαρ, καὶ Χριστῷ προσέδραμες, θερμοῖς ἐν δάκρυσι, τοῦτον ἱλεούμενος ὄντως, καὶ πρὸς μαρτυρίου γυμνάζων, σεαυτὸν τὰ σκάμματα Γεράσιμε.

Ὅτε, καιομένῃ τῇ ψυχῇ, ἔρωτι τῷ θείῳ προσῆλθες, Ὄρει τοῦ Ἄθωνος, τότε πρὸς ἀσκήσεως, πόνους ἐχώρησας, καὶ πιεῖν τὸ ποτήριον, σφοδρῶς ἐπεθύμεις, μάκαρ τῆς ἀθλήσεως, ὑπὲρ τῆς δόξης Χριστοῦ· ὅθεν, ὡμολόγησας τοῦτον, ἐν τῇ Βυζαντίδι εὐτόλμως, καὶ τὴν πλάνην ᾔσχυνας Γεράσιμε.

Ξίφει, ἐκτμηθεὶς τὴν κεφαλήν, ἔταμες τοῦ ψεύδους τὸ κράτος, καὶ τοῖς αἵμασιν, ἅπασαν κατήρδευσας, τὴν Ἐκκλησίαν Χριστοῦ, ἀναθάλλειν ἐν Πνεύματι, καρποὺς τοὺς ἡδίστους, τῆς ἀμώμου πίστεως, Μάρτυς Γεράσιμε· ὅθεν, τὴν ἁγίαν σου μνήμην, πόθῳ

ἐκτελοῦντες ὑμνοῦμέν σε, ὡς Ὁσιομάρτυρά σε ἔνδοξον.

Χαίρει, ἡ πατρίς σου ἐν Χριστῷ, μάκαρ τὸ Χωρίον τὸ Μέγα, ἐν σοὶ καυχώμενον, καὶ ναόν σοι ἅγιον πίστει δειμάμενον, ἐν αὐτῷ μακαρίζει σε, καὶ τοῖς σοῖς ἁγίοις, λειψάνοις σεμνύνεται, καὶ ἁγιάζεται· ὅπερ, τῇ πρεσβείᾳ σου σκέπε, πάσης ἐπηρείας καὶ βλάβης, Νέε Ἀθλητὰ Χριστοῦ Γεράσιμε.

*Δόξα. Ἦχος β΄.*

Τὴν τοῦ Σταυροῦ ἀναλαβὼν πανοπλίαν, τῶν ἀντιπάλων κατηγωνίσω τὰς τάξεις, ἐν ἀνδρείῳ φρονήματι, Ὁσιομάρτυς Γεράσιμε· ἀθλητικῷ γὰρ παραστήματι, ἀνεκαλέσω τὴν ἧτταν, καὶ οἰκείῳ αἵματι, τὴν καλὴν ὁμολογίαν ἐδόξασας· καὶ μαρτυρικῷ στεφθεὶς διαδήματι, μαρτυρικαῖς συνήφθης τάξεσιν, ἐν μετοχῇ θείᾳ θεούμενος, καὶ πρεσβεύων Κυρίῳ, ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Ἤσχυνας τὸν ἐχθρόν, τὸν τρώσαντά σε μάκαρ, ἀθλητικοῖς σου πόνοις, Γεράσιμε κηρύξας, Χριστοῦ τὸ μέγα ὄνομα.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Αἵματι τὴν στολήν, φοινίξας τὴν οἰκείαν, λαμπρὸς Ὁσιομάρτυς, ἐν τοῖς ἐσχάτοις χρόνοις, Χριστοῦ ὤφθης Γεράσιμε.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ, τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Δόξης τῆς θεϊκῆς, ἀμέσως ἀπολαύων, Γεράσιμε τρισμάκαρ, ἀπαύστως ἐκδυσώπει, ὑπὲρ τῶν εὐφημούντων σε.

*Δόξα. Τριαδικόν.*

Σθένει κραταιωθείς, τῆς παντουργοῦ Τριάδος, τῆς μόνης Θεαρχίας, Γεράσιμε καθεῖλες, τοῦ σκότους τὰ ὑψώματα.

*Καὶ νῦν. Θεοτοκίον.*

Δόξης Σου τῷ φωτί, καταυγασθεὶς ἐν Ἄθῳ, Παρθένε Θεοτόκε, Γεράσιμος ὁ θεῖος, ἀθλητικῶς ἠρίστευσεν.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τὴν πλάνην κατήσχυνας τῶν ἐκ τῆς Ἄγαρ σαφῶς, ἀθλήσας στεῤῥότατα, Ὁσιομάρτυς Χριστοῦ, Γεράσιμε ἔνδοξε· ὅθεν ὥσπερ ἀστέρα, ἐξ αὐτοῦ προελθόντα, μέλπει σε θείοις ὕμνοις, τὸ Χωρῖον τὸ Μέγα, ὃ φύλαττε δεόμεθα, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

*Δόξα. Ἦχος α΄. Τῆς Συνόδου τῆς πρώτης.*

Τῶν Ὀτμάνων τὰ θράση εὐθαρσῶς καταβέβληκας, καὶ τροπαιοφόρος ἀνῆλθες, οὐρανοῦ εἰς σκηνώματα, Γεράσιμε Νέε Ἀθλητά, Μαρτύρων χοροῖς καὶ ἀσκητῶν, συνηδόμενος ἀπαύστως, καὶ διασώζων τοὺς

πίστει σοι μέλποντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ δεδωκότι σε ἡμῖν, μέγιστον πρόμαχον.

*Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος δ΄. Ὡς γενναῖον ἐν Μάρτυσι.

Φερωνύμως Γεράσιμε, ἐκ Θεοῦ γέρας ἄφθαρτον, ἐπαξίως εἴληφας τῶν ἀγώνων σου· ὅτι νομίμως ἠγώνισαι, τὸ πῦρ τὸ οὐράνιον, δεδεγμένο νοερῶς, καὶ καθεῖλες τὸν δράκοντα, τῇ ἀθλήσει σου· διὰ τοῦτο θεόθεν ἐδοξάσθης, καὶ τῶν πάλαι Ἀθλοφόρων, ὤφθης ἰσότιμος Ἅγιε.

Τῇ ἀπάτῃ τοῦ ὄφεως, ἐν νεότητι σώματος, ὀλισθήσας πέπτωκας πρὸς ἀσέβειαν· ἀλλ’ ἐγνωκὼς ὅπερ πέπονθας, τὴν πλάνην κατέλιπες, καὶ προσῆλθες τῷ Χριστῷ, μετανοίᾳ καὶ δάκρυσι, καὶ ἀνέδραμες, εἰς

ἀγάπης ἀκρότητα ἁγίας, καὶ ἐνήθλησας νομίμως, Ὁσιομάρτυς Γεράσιμε.

Ὡς ἐτρώθης τῷ ἔρωτι, τῆς Χριστοῦ ἀγαπήσεως, ὡς διψῶσα ἔλαφος πρὸς τὸν Ἄθωνα, χαίρων Γεράσιμε ἔδραμες, καὶ ὕδωρ τὸ ἄφθαρτον, ἐκ πηγῶν τῶν μυστικῶν, δι’ ἱδρώτων ἀσκήσεως, εἰσδεξάμενος, ἐπτερώθης πρὸς πόθον μαρτυρίου, σεαυτὸν προετοιμάσας, πνευματικοῖς ἀγωνίσμασι.

Ὡς κατέλαβες Ἅγιε, Βασιλίδα τῶν πόλεων, τοῦ Χριστοῦ τὸ ὄνομα ὡμολόγησας, ενθα ἠρνήσω τὸ πρότερον, αὐτὸν νοΐ ἄφρονι, καὶ βασάνους χαλεπάς, ὑπομείνας ἐκτέτμησαι, τὸν αὐχένα σου, καὶ ὡς ἄστρον πολύφωτον ἀνῆλθες, πρὸς σκηνὰς τὰς οὐρανίους, Ὁσιομάρτυς Γεράσιμε.

Γέρας θεῖον καὶ καύχημα, καὶ θερμὸν ἀντιλήπτορα, καὶ μεσίτην ἔνθεον πρὸς τὸν Κύριον, ἔχει τὸ Μέγα Χωρίον σε, ἐξ οὗ ἀνεβλάστησας, ὡς φυτὸν ἀειθαλές, καὶ γεραίρει τὴν μνήμην σου, θείοις ᾄσμασιν, ὅπερ σκέπε καὶ φρούρει πάσης βλάβης, καὶ παντοίας δυσχερείας, Ὁσιομάρτυς Γεράσιμε.

Ὡς θησαύρισμα ἅγιον, τὰ σὰ πάντιμε λείψανα, ἐκ τοῦ τάφου Ἅγιε ἀνεκόμισαν, χαριτωθέντα τῷ Πνεύματι, καὶ ταῦτα μετήγαγον, εἰς Μονὴν τὴν τοῦ Προυσσοῦ, οἷα δῶρον πολύτιμον, ἐξ ὧν κέκτηται, καὶ τὸ Μέγα Χωρίον ἡ πατρίς σου, χαρμοσύνως σε τιμῶσα, Ὁσιομάρτυς Γεράσιμε.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, ἐν τῇ τοῦ θέρους ὥρᾳ, ὡς στάχυς ὥριμος ἐπέστη, ὁ Ὁσιομάρτυς Γεράσιμος, τῇ ἐτησίῳ αὐτοῦ μνήμῃ, μυστικῶς ἐκτρέφων τῇ χάριτι, τῶν πιστῶν τὰς καρδίας· ἀσκητικῶς γὰρ γεωργηθείς, ἀθλητικῶς Χριστῷ προσήχθη, καὶ πάντας προτρέπεται, βοῆσαι αὐτῷ· χαίροις, ὁ τὴν πανοπλίαν τοῦ φωτός, ἀναλαβὼν ἐν Ἄθῳ, καὶ τὸν πάλαι σε τρώσαντα, ἄθλοις μαρτυρίου τροπωσάμενος· χαίροις, ὁσίων ἀνδρῶν εὐῶδες ἄνθος, καὶ μαρτυρικῶν καμάτων μυστικὸν θυμίαμα· χαίροις, τῆς Ἐκκλησίας νέον γέρας, καὶ τοῦ Μεγάλου Χωρίου μέγα ἐγκαλλώπισμα. Καὶ νῦν Ὁσιομάρτυς Γεράσιμε, πρέσβευε ὑπὲρ τῶν τιμώντων σε.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος. Φῶς ἱλαρόν προκείμενον τῆς ἡμέρας. Ἀναγνώσματα.*

*Προφητείας Ἡσαΐου τὸ ἀνάγνωσμα (Κεφ. ΜΓ΄ 9-14)*

Τάδε λέγει Κύριος· πάντα τὰ ἔθνη συνήχθησαν ἅμα, καὶ συναχθήσονται ἄρχοντες ἐξ αὐτῶν. τίς ἀναγγελεῖ ταῦτα; ἢ τὰ ἐξ ἀρχῆς τίς ἀναγγελεῖ ὑμῖν; ἀγαγέτωσαν τοὺς μάρτυρας αὐτῶν καὶ δικαιωθήτωσαν καὶ εἰπάτωσαν ἀληθῆ. Γίνεσθέ μοι μάρτυρες, καὶ ἐγὼ μάρτυς, λέγει Κύριος ὁ Θεός, καὶ ὁ παῖς μου, ὃν ἐξελεξάμην, ἵνα γνῶτε καὶ πιστεύσητε καὶ συνῆτε ὅτι ἐγώ εἰμι. ἔμπροσθέν μου οὐκ ἐγένετο ἄλλος Θεὸς καὶ μετ᾽ ἐμὲ οὐκ ἔσται. Ἐγὼ ὁ Θεός, καὶ οὐκ ἔστι πάρεξ ἐμοῦ ὁ σῴζων. Ἐγὼ ἀνήγγειλα καὶ ἔσωσα, ὠνείδισα καὶ οὐκ ἦν ἐν ὑμῖν ἀλλότριος. ὑμεῖς ἐμοὶ μάρτυρες καὶ ἐγὼ Κύριος ὁ Θεός. Ἔτι ἀπ᾽ ἀρχῆς καὶ οὐκ ἔστιν ὁ ἐκ τῶν χειρῶν μου ἐξαιρούμενος· ποιήσω, καὶ τίς ἀποστρέψει αὐτό; Οὕτως λέγει Κύριος ὁ Θεὸς ὁ λυτρούμενος ὑμᾶς, ὁ ἅγιος τοῦ Ἰσραήλ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. γ' 1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ, καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι, καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν, καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ. Καί γὰρ ἐν ὄψει ἀνθρώπων ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες, μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτούς, καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν

ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτόν, συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καί ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ ἀνάγνωσμα. (Κεφ. ζ'.7)*

Δίκαιος, ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολιὰ δέ ἐστι φρόνησις ἀνθρώποις, καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος, ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν, μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ, ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ, ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Λιτή. Ἦχος α΄.*

Εὐφραίνου ἐν Κυρίῳ τὸ Μέγα Χωρίον, ὡς μήτηρ καλλίτεκνος, κατὰ Δαβὶδ τὸν θεόληπτον· ἐκ σοῦ γὰρ ἐβλάστησεν, ὡς φοῖνιξ ὑψίκορμος, Γεράσιμος ὁ Νέος

Ὁσιομάρτυς, καὶ τοῖς καρποῖς τῆς εὐσεβείας, τῆς Ἐκκλησίας τρέφει τὸ πλήρωμα· μαρτυρικοὺς γὰρ ἤνυσε καμάτους, καὶ τῆς πλάνης τὴν ὀφρῦν καθεῖλε, Χριστοῦ τὸ θεῖον ὄνομα, εὐθαρσῶς ὁμολογήσας· καὶ οἰκείῳ αἵματι λαμπρυνθείς, ὡς Ὅσιος καὶ Μάρτυς, αἰτεῖται πᾶσιν εἰρήνην, καὶ τὸ μέγα ἔλεος.

*Ἦχος β΄.*

Θείου φωτὸς δεξάμενος, τὴν ἀκτῖνα Γεράσιμε, τὸν ζόφον τῆς πλάνης ἀπέπτυσας, ᾧ ἐν νεαρᾷ ὑπήχθης ἡλικίᾳ, τῇ συνεργίᾳ τοῦ ὄφεως· ἔνθεν θεόληπτος γέγονας, μετανοίας τοῖς ἔργοις, καὶ δάκρυσιν ἀπέπλυνας, τὸ τῆς ἀρνήσεως αἶσχος· τῇ γὰρ ἐνθέῳ ἀσκήσει, ἀνεπτερώθης τῷ πνεύματι, σαυτὸν ἀπαρνησάμενος, καὶ πᾶσι χαίρειν εἰπών· καὶ μαρτυρίου ὑπελθὼν τὸ στάδιον, κατὰ τῆς πλάνης ἠνδραγάθησας, ἀθλητικῇ ἐνστάσει ἐκφήνας, τὴν ἐν σοὶ λαμπρότητα. Ἀλλ᾽ ὡς Μαρτύρων συνὼν τοῖς δήμοις, σὺν αὐτοῖς ἱκέτευε, ὑπὲρ τῶν τιμώντων σε.

*Ἦχος γ΄.*

Ὡς τετρωμένος τῷ πόθῳ, τῆς τοῦ Χριστοῦ ἀγάπης, στεῤῥοτάτῃ ψυχῇ ἐχώρησας, πρὸς ἀθλητικὰ σκάμματα, Ὁσιομάρτυς Γεράσιμε· τῶν γὰρ χαμαὶ συρομένων μακρύνας τὸν νοῦν, οὐκ ἐφείσω σαρκὸς φθειρομένης, οὐρανίῳ φρονήματι· διὸ καὶ τοῖς ἀνόμοις, ἀπτοήτῳ ἐβόας στόματι· Χριστοῦ δοῦλος πέφυκα, ᾧ λατρεύω ὅλῃ ψυχῇ, τῆς δυσσεβείας ὑμῶν τὰς ψευδεῖς ὑπολήψεις ἀποβαλλόμενος· καὶ ἐπαγγελιῶν παροχαῖς, καὶ βασάνων ἀπειλαῖς μὴ

καμφθείς, ὡς ἱερεῖον ἄμωμον, τμηθεὶς τὸν αὐχένα, τῷ Χριστῷ προσενήνεξαι· ᾧ πρέσβευε Ἅγιε, διδόναι ἡμῖν πταισμάτων ἄφεσιν.

*Ἦχος δ΄.*

Ἀθλητικῷ ζήλῳ κοσμούμενος, πρὸς Βασιλίδα πόλιν ἔδραμες Γεράσιμε, ὡς διψῶσα ἔλαφος· καὶ τὸν Χριστὸν ὁμολογήσας, τὸν ὑπὲρ αὐτοῦ θάνατον, ἀγαλλομένῃ ψυχῇ ἐδέξω, καὶ πρὸς ἀθάνατον ζωήν, τροπαιοφόρος ἀνελήλυθας· ἔνθεν Ἄγαρ οἱ ἀπόγονοι, τῇ σῇ ἐνστάσει ᾐσχύνθησαν, καὶ τῶν πιστῶν αἱ χορεῖαι, τῇ σῇ ἀθλήσει εὐφράνθησαν, ταῖς ῥοαῖς ἁγιασθεῖσαι τῶν αἱμάτων σου· Χριστὸς γὰρ Ὃν ἐδόξασας, ἀξίως σε ἐδόξασε, καὶ παρέχει διὰ σοῦ, ἡμῖν τὸ θεῖον ἔλεος.

*Δόξα. Ὁ αὐτός.*

Τὸ τῆς ἀσκήσεως γέρας, ἀθλητικοῖς καμάτοις ἐλάμπρυνας, Ὁσιομάρτυς Γεράσιμε· ἐν Ὁσίοις γὰρ δόκιμος φανείς, καὶ ἐν Μάρτυσιν ἀήττητος, δι᾽ ἀμφοτέρων Χριστὸν ἐδόξασας, καλῶς ἀγωνισάμενος· καὶ διπλῶν ἐπάθλων ἀξιωθείς, ἀπαύστως ἱκέτευε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς

βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, Ὁσιομάρτυς Χριστοῦ, ὁ καθελὼν τῶν δυσσεβῶν τὴν παράταξιν, ἀνδρείᾳ καὶ καρτερίᾳ, καὶ θεολήπτῳ ψυχῇ, καὶ ὁμολογίᾳ θείας πίστεως· ἐντεῦθεν ὑπέμεινας, ἀλγηδόνας τοῦ σώματος, καὶ τὰς ὀδύνας, ἀνενδότῳ φρονήματι, τῇ τῆς χάριτος, ἐνεργείᾳ Γεράσιμε· ὅθεν καὶ τὸν αὐχένα σου, τμηθεὶς ἀνελήλυθας, τροπαιοφόρος παμμάκαρ, πρὸς οὐρανῶν τὰ σκηνώματα, Χριστὸν ἱκετεύων, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Ἔστης, ἀκαταπλήκτῳ ψυχῇ, τοῖς ἀσεβέσι Νεομάρτυς Γεράσιμε, οὗ πρότερον ἐξηρνήσω, ἐν ἀτελείᾳ φρενῶν, τοῦ Χριστοῦ τὴν κλῆσιν τὴν σωτήριον, καὶ τοῦτον ἐκήρυξας, θεηγόρῳ σου στόματι, Θεὸν καὶ Κτίστην, τῶν ἁπάντων καὶ Κύριον, ὕλῃ σώματος, ὁραθέντα δι᾽ ἔλεος· ὅθεν καὶ τὸν ἀγῶνά σου, νομίμως ἐτέλεσας, καὶ τῆς ἀπάτης τὴν φλόγα, ῥείθροις αἱμάτων σου ἔσβεσας· καὶ νῦν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ, τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Χαίροις, Ὁσιομάρτυς Χριστοῦ, ὁ τῶν Ἀγγέλων συμπολίτης καὶ σύσκηνος· Μεγάλου Χωρίου ἄνθος,

εὐωδιάζον ἡμᾶς, ταῖς ὀσμαῖς τῶν θείων παλαισμάτων σου· Χριστοῦ εὐωδία γάρ, τῇ ἀθλήσει γενόμενος, ὀσμῆς ἁγίας, τὸν ἀέρα ἐνέπλησας, ἐν τῷ τέμνεσθαι, τὸν αὐχένα σου Ἅγιε· ὅθεν ὡς ἄστρον πάμφωτον, ὡράθης Γεράσιμε, τοῖς καθαροῖς τῇ καρδίᾳ, εἰς οὐρανοὺς ἀνερχόμενος· καὶ νῦν ἐκδυσώπει, φωτισμὸν Ἡμῖν δοθῆναι, καὶ θεῖον ἔλεος.

*Δόξα. Ἦχος πλ. δ΄.*

Τῇ ἀσκήσει προγυμνασθείς, πρὸς ἀθλητικοὺς ἀγῶνας ἐχώρησας, ἀνδρειοτάτῃ ψυχῇ, οὐρανόφρον Γεράσιμε· καὶ ἐν τῇ ἄνωθεν ῥοπῇ, τὸ ἀσθενὲς τῆς φύσεως ῥωννύων, τὸν ἰσχυρὸν ἐν κακίᾳ κατεπάλαισας, καθελὼν αὐτοῦ τὸ φρύαγμα, τοῖς ὑπὲρ Χριστοῦ παλαίσμασι· διὸ ὁ πάντων Κύριος, τῷ τῆς ἀφθάρτου ζωῆς διαδήματι, τὴν ἱεράν σου κεφαλὴν ἔστεψεν, Ὁσιομάρτυς ἀοίδιμε, καὶ παρέχει διὰ σοῦ, ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Τὴν πλάνην κατήσχυνας τῶν ἐκ τῆς Ἄγαρ σαφῶς, ἀθλήσας στεῤῥότατα, Ὁσιομάρτυς Χριστοῦ, Γεράσιμε

ἔνδοξε· ὅθεν ὥσπερ ἀστέρα, ἐξ αὐτοῦ προελθόντα, μέλπει σε θείοις ὕμνοις, τὸ Χωρῖον τὸ Μέγα, ὃ φύλαττε δεόμεθα, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

*Δόξα. Ἦχος α΄. Τῆς Συνόδου τῆς πρώτης.*

Τῶν Ὀτμάνων τὰ θράση εὐθαρσῶς καταβέβληκας, καὶ τροπαιοφόρος ἀνῆλθες, οὐρανοῦ εἰς σκηνώματα, Γεράσιμε Νέε Ἀθλητά, Μαρτύρων χοροῖς καὶ ἀσκητῶν, συνηδόμενος ἀπαύστως, καὶ διασώζων τοὺς πίστει σοι μέλποντας· δόξα τῷ σὲ δοξάσαντι Χριστῷ, δόξα τῷ σὲ ἐνισχύσαντι, δόξα τῷ δεδωκότι σε ἡμῖν, μέγιστον πρόμαχον.

*Καὶ νῦν. Θεοτοκίον.*

Τοῦ Γαβριὴλ φθεγξαμένου σοι Παρθένε τὸ Χαῖρε, σὺν τῇ φωνῇ ἐσαρκοῦτο ὁ τῶν ὅλων Δεσπότης, ἐν σοὶ τῇ ἁγίᾳ κιβωτῷ, ὡς ἔφη ὁ δίκαιος Δαυΐδ. Ἐδείχθης πλατυτέρα τῶν οὐρανῶν, βαστάσασα τὸν Κτίστην σου. Δόξα τῷ ἐνοικήσαντι ἐν σοί· δόξα τῷ προελθόντι ἐκ σοῦ· δόξα τῷ ἐλευθερώσαντι ἡμᾶς, διὰ τοῦ τόκου σου.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν Τάφον Σου Σωτήρ.*

Ὡς ἔλιπες σοφέ, τῆς ἀπάτης τὸν ζόφον, προσῆλθες τῷ φωτί, τῆς Χριστοῦ ἀληθείας, ἐξ οὗ φθόνῳ τοῦ ὄφεως, ἐμακρύνθης Γεράσιμε, καὶ ἐνήθλησας,

γενναιοτάτῃ καρδίᾳ· ὅθεν σήμερον, τὴν φωτοφόρον σου μνήμην, φαιδρῶς ἑορτάζομεν.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Κυήσασα Χριστόν, τὸν Δεσπότην τῶν ὅλων, Ἀγγέλων Βασιλίς, καὶ ἀνθρώπων ἐδείχθης· διὸ τῆς δεσποτείας με, τοῦ δεινοῦ κοσμοκράτορος, ἐλευθέρωσον, καὶ οὐρανῶν Βασιλείας, καταξίωσον, δι' ἐναρέτου ζωῆς με, ἁγνὴ ἀειπάρθενε.

*Μετὰ τὴν β' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος πλ. α΄. Τὸν συνάναρχον Λόγον.*

Μαρτυρίου ἀνύσας τὸ θεῖον στάδιον, τὸν σὲ πτερνίσαντα πάλαι κατηγωνίσω ἐχθρόν, καὶ ἐδόξασας Χριστὸν ἐν τῇ ἀθλήσει σου· τῶν γὰρ τυράννων τὰς ποινάς, ἐλογίσω παρ' οὐδέν, καὶ ξίφει τμηθεὶς τὴν κάραν, τῆς τῶν Μαρτύρων εὐκλείας, λαμπρῶς ἠξίωσαι Γεράσιμε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ἀποῤῥήτως τεκοῦσα τὸν Ὑπερούσιον, ἐν μορφῇ ἀνθρωπίνῃ δι' εὐσπλαγχνίαν πολλήν, τὴν οὐσίαν τοῦ Ἀδὰμ Κόρη ἐθέωσας, καὶ ἀνήγαγες ἡμᾶς, ἐξ ἧς πεπτώκαμεν χαρᾶς, Παρθένε τῷ τοκετῷ Σου· διό Σε ὑμνολογοῦμεν, ὡς τοῦ Θεοῦ Μητέρα ἄχραντον.

*Μετὰ τὸν Πολυέλεον, Κάθισμα. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Διεκφυγὼν τῆς ἀσεβείας τὰς ἄρκεις, πρὸς τὴν πατρώαν ἐπανέδραμες πίστιν, Ὁσιομάρτυς Ἅγιε Γεράσιμε, ὑπὲρ ἧς καὶ ἤθλησας, στεῤῥοτάτῃ καρδίᾳ,

καὶ Μαρτύρων σύσκηνος, ἐν ὑψίστοις ἐδείχθης, μεθ' ὧν δυσώπει πάντοτε Χριστόν, ὑπὲρ τῶν πίστει, τελούντων τὴν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Τὸν ἐκ γαστρός Σου προελθόντα ἀφράστως, καὶ ἀφθαρσίαν ἀναβλύσαντα κόσμῳ, ὑπὲρ ἡμῶν ἱκέτευε πανάμωμε, ὡς Υἱόν Σου εὔσπλαγχνον, καὶ Θεὸν καὶ Σωτῆρα, δοῦναι ἡμῖν ἄφεσιν, καὶ ψυχῶν σωτηρίαν, τοῖς ὀρθοδόξως μέλπουσιν ἁγνή, τοῦ τοκετοῦ Σου, τὸ μέγα μυστήριον.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α' Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Δίκαιος ὡς φοῖνιξ ἀνθήσει, καὶ ὡσεὶ κέδρος ἡ ἐν τῷ Λιβάνῳ πληθυνθήσεται.*

Στ.: *Θαυμαστὸς ὁ Θεὸς ἐν τοῖς Ἁγίοις Αὐτοῦ, τοῖς Ἁγίοις τοῖς ἐν τῇ γῇ Αὐτοῦ, ἐθαυμάστωσεν ὁ Κύριος.*

Εὐαγγέλιον Μαρτυρικόν.

Ὁ Ν' ψαλμός.

Δόξα: *Ταῖς τοῦ Ἀθλοφόρου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Τῶν ἀρετῶν τῷ φωτί, τῆς ψυχῆς λαμπρύνας τὰ ὄμματα, ὅλος μετάρσιος ὤφθης, ἐν τῇ ἐφέσει τῶν κρειττόνων, παμμάκαρ Γεράσιμε· καὶ μαρτυρικοῖς ἀγῶσι τελεσθείς, ὡς θυσία εὐπρόσδεκτος, Κυρίῳ προσηνέχθης, καὶ τῆς ὑπὲρ λόγον εὐκλείας ἠξιώθης· ἧς καὶ ἡμεῖς ἀξιωθείημεν, ταῖς πρὸς Θεὸν πρεσβείαις σου.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ἁγίου, οὗ ἡ ἀκροστιχίς: *Γεράσιμος, μέλπει σοι τῷ Γερασίμῳ. Ἀμήν.*

*ᾨδὴ α΄. Ἦχος δ΄. Ἀνοίξω τὸ στόμα μου.*

Γαλήνην παράσχου μοι, καὶ φωτισμὸν τῇ καρδίᾳ μου, καὶ λόγον μοι βράβευσον, μάκαρ Γεράσιμε, ἵνα μέλψω σου, τὴν μνήμην τὴν ἁγίαν, καὶ τὰ τῆς ἀθλήσεως, θεῖα παλαίσματα.

Ἐπῆλθε Γεράσιμε, ἐν ἀτελεῖ ἡλικίᾳ σοι, ὁ δράκων ὁ βύθιος, καὶ φθόνῳ Ἅγιε, σὲ ἠπάτησεν, ἀλλ’ ἀνανήψας μάκαρ, ἀθλήσεως αἵμασι, τοῦτον ἀπέπνιξας.

Ῥοαῖς τῶν δακρύων σου, τὸ τῆς ἀρνήσεως μίασμα, ἐκπλύνας Γεράσιμε, πόνοις ἀθλήσεως, Χριστῷ ἔκλαμπρος, καὶ ποθεινὸς ἐγένου, αἰσχύνας τὸν ἄρχοντα, τοῦ σκότους Ἅγιε.

*Θεοτοκίον.*

Ἀγγέλων Βασίλισσα, καὶ τῶν βροτῶν καταφύγιον, Θεὸν σωματώσασα, ὤφθης πανάχραντε· διὸ σῶσόν με, προσφεύγοντά Σοι πίστει, καὶ κάθαρον δέομαι, πάσης φαυλότητος.

*ᾨδὴ γ΄. Τοὺς Σοὺς ὑμνολόγους.*

Σωτῆρα καὶ Κτίστην τῶν ἁπάντων, Χριστὸν ὡμολόγησας λαμπρῶς, ἔνθα ἠρνήσω πρότερον, καὶ ταῖς βολίσιν Ἅγιε, τῶν λόγων σου κατέτρωσας, τῶν δυσσεβῶν τὴν παράταξιν.

Ἰσχὺν προσλαβὼν ἐξ ὕψους θείαν, μονάσας ἐν Ἄθῳ ἱερῶς, ἐν Βυζαντίῳ ἔδραμες, Γεράσιμε μακάριε, καὶ τρόπαιον περίδοξον, κατὰ τῆς πλάνης ἀνέστησας.

Μαρτύρων τὸν ζῆλον κεκτημένος, αὐτῶν ἐπεδείξω ἀληθῶς, τὴν ἀρετὴν Γεράσιμε, καὶ μαρτυρίου σκάμμασι, μαρτυρικῆς λαμπρότητος, καὶ εὐκληρίας ἠξίωσαι.

*Θεοτοκίον.*

Ὁ θρόνος τοῦ πάντων Βασιλέως, καθέδρα Χριστοῦ ἡ παμφαής, πηγὴ ἡ ἀναβλύζουσα, ζωῆς ἀφθάρτου νάματα, ἡ Θεοτόκος Δέσποινα, ὑμνολογείσθω ἐν ᾄσμασι.

*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Αἱμάτων τοῖς ῥεύμασι τὸν παλαμναῖον ἐχθρόν, εἰς χάος ἐβύθισας καὶ νικηφόρος Χριστῷ, Γεράσιμε ἔδραμες· ὅθεν τῇ σῇ ἀθλήσει, τοὺς πιστοὺς ἁγιάζεις, λύεις παθῶν ὀδύνας, καὶ πληροῖς εὐφροσύνης, τοὺς πόθῳ ἑορτάζοντας, τὴν μνήμην σου Ἅγιε.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὡς Μήτηρ πανάφθορος τοῦ τῶν ἁπάντων Θεοῦ, φθορᾶς πάσης λύτρωσαι τῶν ἀκαθάρτων παθῶν, καὶ πάσης κακώσεως, λύπης καὶ ἀθυμίας, καὶ πικρῶν συμπτωμάτων, πάναγνε Θεοτόκε, τοὺς προσφεύγοντας πίστει, τῇ θείᾳ προστασίᾳ Σου, καὶ Σὲ μεγαλύνοντας.

*Ὠδὴ δ΄. Τὴν ἀνεξιχνίαστον*

Σύνεσιν κτησάμενος Μάρτυς πολλήν, Ὄρει ἐνασκήσας τοῦ Ἄθωνος, καὶ θείῳ πόθῳ, τὴν ψυχὴν πυρποληθείς, ἀνδρειοφρόνως ἔδραμες, πρὸς τὸ τῆς ἀθλήσεως στάδιον.

Μόνον τοῦ Σωτῆρος ἀπὸ ψυχῆς, κάλλος ἐκζητῶν τὸ ἐράσμιον, πάντα παρεῖδες, τὰ ἐν κόσμῳ ὡς φθαρτά, καὶ ὅλος ἐνθεώτατος, ἅπασιν ἐφαίνου Γεράσιμε.

Ἔτρωσας Γεράσιμε ὁλοσχερῶς, τοῖς μαρτυρικοῖς σουν παλαίσμασι, τὸν πάλαι φθόνῳ, τρώσαντά σε πονηρόν, καὶ Ἀθλητὴς περίδοξος, ὤφθης ἐν ὑστέροις τοῖς ἔτεσι.

*Θεοτοκίον.*

Λάμπρυνον τὰ ὄμματα τὰ ζοφερά, Κόρη τῆς καρδίας μου δέομαι, φωτί Σου θείῳ, ὡς ἂν βαίνω ἀπλανῶς, τὴν τρίβον τὴν σωτήριον, τὴν πρὸς τὴν ζωὴν ὁδηγοῦσάν με.

*Ὠδὴ ε΄. Ἐξέστη τὰ σύμπαντα.*

Πυρὶ ἐκκαιόμενος, ἀγάπης τοῦ Παντάνακτος, ἤνεγκας Γεράσιμε ἀνδρείως, τὰς τῶν τυράννων παντοειδεῖς ἀπειλάς, καὶ θανατωθεὶς ὑπὲρ Χριστοῦ, πρὸς ζωὴν ἀθάνατον, χαρμοσύνως ἀνέδραμες.

Ὁ Μάρτυς Γεράσιμος, τοὺς εὐσεβεῖς κατηύφρανε, τῇ ὑπὲρ Χριστοῦ στεῤῥᾷ ἀθλήσει· ηθλησεν ἀνδρείᾳ θαυμαστῇ, καὶ τῶν ἴσων ἔτυχε, σὺν αὐτοῖς ἀναῤῥήσεων.

Ἰδόντες Γεράσιμε, τῆς Ἄγαρ οἱ ἀπόγονοι, τὸ ἐν ἀπειλαῖς καὶ κολακείαις, καὶ ἐν βασάνοις νοός σου ἄτρεπτον, ξίφει ἐναπέτεμον τὴν σήν, κεφαλὴν μακάριε, ἣν Χριστὸς ἐστεφάνωσεν.

*Θεοτοκίον.*

Σαρκὸς ὁμοιώματι, φανεὶς ὁ Ὑπερούσιος, Κόρη ἐξ ἁγίων Σου αἱμάτων, τὴν ἁμαρτίαν Ἀδὰμ ἠφάνισε, καὶ τῆς εὐλογίας καὶ ζωῆς, τὰς πηγὰς ἤνεῳξε, τοῖς πιστῶς Σε δοξάζουσι.

*ᾨδὴ στ΄. Τὴν θείαν ταύτην.*

Ὁσίων ὤφθης ἐφάμιλλος, καὶ θείων Ἀθλητῶν ἰσοστάσιος, ἀθλήσας ἄριστα, Ὁσιομάρτυς Γεράσιμε, καὶ Εὐρυτάνων κλέος, καὶ ἐγκαλλώπισμα.

Ἰδοὺ τὸ Μέγα Χωρίον σε, ἐξ οὗ περιφανῶς ἀνεβλάστησας, γεραίρει σήμερον, Ὁσιομάρτυς Γεράσιμε, ὃ σκέπε οὐρανόθεν, ἐκ πάσης θλίψεως.

Τῷ σῷ ναῷ πίστει σπεύδοντες, οἱ Μεγαλοχωρῖται Γεράσιμε, φαιδρῶς ὑμνοῦμέν σε, καὶ τοῖς ἁγίοις λειψάνοις σου, προσπίπτοντες ἐκ πόθου, ἁγιαζόμεθα.

*Θεοτοκίον.*

Ὡς κιβωτὸς ἁγιάσματος, οὐ πλάκας ἀλλὰ νόμου τὸν πάροχον, φέρεις πανάχραντε· Ὃν ἐκδυσώπει οἰκτεῖραί με, τῆς ἁμαρτίας νόμῳ, ἀεὶ τροπούμενον.

*Κοντάκιον. Ἦχος δ΄. Ὁ ὑψωθείς.*

Ταῖς τῶν αἱμάτων σου ῥοαῖς Ἀθλοφόρε, τὸν πολυμήχανον ἐχθρὸν ἀποπνίξας, πτῶμα τὸ σὸν

ἀνώρθωσας Γεράσιμε σοφῶς, καὶ πρὸς τὰ οὐράνια ἀνελήλυθας χαίρων, δόξῃ καλλυνόμενος, καὶ πρεσβεύων ἀπαύστως, ὑπὲρ ἡμῶν τῶν πίστει σου θερμῇ, ἑορταζόντων τὸ θεῖον μνημόσυνον.

*Ἕτερον. Ἦχος δ΄. Ἐπεφάνης σήμερον.*

Ὡς ἀστὴρ νεόφωτος, τὴν Ἐκκλησίαν, καταυγάζεις Ἅγιε, ἀθλητικαῖς μαρμαρυγαῖς, Ὁσιομάρτυς Γεράσιμε, καταπαλαίσας, ἐχθρὸν τὸν ἀλάστορα.

*Ὁ Οἶκος.*

Τῇ τοῦ ἀρχαίου πτερνιστοῦ, φενακισθεὶς ἀπάτῃ, ἐν ἡλικίᾳ ἀτελεῖ, τὸν Κύριον ἠρνήσω, ἀλλ’ ἀνανήψας ἐν ἐπιλάμψει θείου φωτός, ἐπανεῦρες ὃν ἀπώλεσας, πολύτιμον μαργαρίτην, μετανοίας ἔργοις καὶ δάκρυσι καὶ πόνοις, ἱλεούμενος Χριστόν, τὴν τοῦ ἐλέους ἄβυσσον· καὶ μοναστικῶς ἐν Ἄθῳ προγυμνασθείς, πεποιθὼς τῇ ἄνωθεν· ῥοπῇ ὡς λέων ὥρμησας πρὸς τὸ τῆς ἀθλήσεως στάδιον· τὴν Βασιλίδα γὰρ πόλιν καταλαβών, καὶ εὐτόλμως τὴν καλὴν ὁμολογήσας ὁμολογίαν, μαρτυρικοῖς ἄθλοις ὡς χρυσὸς ἐν καμίνῳ ἐλαμπρύνθης, Ὁσιομάρτυς Γεράσιμε, καὶ Μαρτύρων ἐταινιώθης διαδήματι, καταπαλαίσας ἐχθρὸν τὸν ἀλάστορα.

*Συναξάριον.*

Τῇ Γ΄ τοῦ αὐτοῦ μηνός, ὁ Ἅγιος Ὁσιομάρτυς Γεράσιμος ὁ Νέος, ὁ ἐκ Μεγάλου Χωρίου Εὐρυτανίας, ἐν Κωνσταντινουπόλει μαρτυρήσας ἐν ἔτει 1812, ξίφει τελειοῦται.

*Ὡς εἰς γάμους ἔσπευδες πρὸς τὸ σφαγῆναι,*
*πρὸς τὴν μέλλουσαν ἀφορῶν δόξαν, μάκαρ.*
*Βῆ δὲ τρίτῃ Γεράσιμος, μέγα γήθων ἄστυ, Θεοῖο.*

*Ὠδὴ ζ΄. Οὐκ ἐλάτρευσαν.*

Γενναιότητι καρδίας ὡμολόγησας Χριστὸν τὸν Κύριον, καὶ τῶν τῆς Ἄγαρ υἱῶν, τὴν πλάνην κατήσχυνας, τῇ παῤῥησίᾳ σου· διὰ τοῦτό σε, Γεράσιμε ἐδόξασεν, ὁ Δεσπότης τῶν ἁπάντων.

Ἐν τῷ Ἄθωνι σαυτὸν προγυμνασάμενος πόνοις ἀσκήσεως, ἐπὶ τὴν πόλιν σοφέ, τοῦ Βύζαντος ἔδραμες, καθάπερ ἔλαφος, καὶ ἐδόξασας, ἀθλητικῇ ἐνστάσει σου, τὴν καλὴν ὁμολογίαν.

Ῥείθροις ἤρδευσας τῶν ἱερῶν αἱμάτων σου Μάρτυς Γεράσιμε, τὴν Ἐκκλησίαν Χριστοῦ, αὐχμῷ τῆς δουλώσεως, καὶ τυραννίδος πικρᾶς· διὸ χαίρουσα, γεραίρει σου τὴν ἄθλησιν, καὶ τὴν μνήμην ἑορτάζει.

*Θεοτοκίον.*

Ἀπὸ πάσης με ἐπιβουλῆς τοῦ ὄφεως Κόρη ἀπάλλαξον, δι᾽ ἧς συλᾷ μου τὸν νοῦν, καὶ δίδου μοι ἔμφρονα, γνώμην καὶ σώφρονα, ἵνα Δέσποινα, τοῦ βίου τὸ ὑπόλοιπον, διανύσω θεαρέστως.

*Ὠδὴ η΄. Παῖδας εὐαγεῖς.*

Στόμα σου τὸ ἅγιον ἀνοίξας, εὐτόλως τοῖς ἀσεβέσιν ἀνεκραύγαζες· Χριστοῦ δοῦλος πέφυκα, σύνετε παράνομοι, δι᾽ Ὃν καὶ σφαγιάζομαι ἀγαλλομένῃ

ψυχῇ, ὡς ἄν, τὴν ἐπουράνιον δόξαν, καὶ τὴν μακαρίαν, ζωὴν κληρονομήσω.

Ἰδόντες ψυχήν σου τὴν ἀνδρείαν, καὶ γνώμης τὸ ἀμετάθετον οἱ ἄνομοι, ξίφει ἐναπέτεμον, ἀπηνῶς τὴν κάραν σου, καὶ ὡς ἀστὴρ ὁλόφωτος ὤφθης Γεράσιμε, σαφῶς, τοῖς καθαροῖς τῇ καρδίᾳ, πρὸς φῶς ἀφθαρσίας, σπεύδων ἠγλαϊσμένος.

Μάρτυς καὶ ὁπλίτης νικηφόρος, ὡράθης ὡς ἀριστεύσας καθαρώτατα, ἐν ἐσχάτοις ἔτεσιν, Ἅγιε Γεράσιμε, Χριστοῦ τοῦ Παντοκράτορος, τοῦ σὲ δοξάσαντος, καὶ δόντος σου, τὰ λείψανα Μάρτυς, ὡς πηγὴν χαρίτων, Προυσοῦ τῇ θείᾳ Μάνδρᾳ.

*Θεοτοκίον.*

Ὤφθης τῶν Ἀγγέλων ἀνωτέρα, ἡλίου δὲ ἀσυγκρίτως ὑπερλάμπουσα, καὶ ἁπάσης κτίσεως, Κόρη ὑπερέχουσα, τὸν Ποιητὴν κυήσασα, καὶ πάντων Κύριον· διό Σου, τὴν ὑπέρφωτον δόξαν, ἀνυμνολογοῦμεν, οἱ διὰ Σοῦ σωθέντες.

*ᾨδὴ θ΄. Ἅπας γηγενής.*

Ἄθλησιν στεῤῥάν, διήθλησας Ἅγιε, τρωθεὶς τῷ ἔρωτι, τοῦ Χριστοῦ Γεράσιμε, καὶ ἠριθμήθης Μαρτύρων τάγμασι, μαρτυρικῆς λαμπρότητος καταξιούμενος, τὰ δὲ θεῖα, λείψανά σου νέμουσι, τοῖς αἰτοῦσι ἰάσεις ἐν Πνεύματι.

Μνήμην τὴν σεπτήν, τῆς σῆς τελειώσεως, ἄγει χορεύουσα, ἡ ἐνεγκαμένη σε, Ὁσιομάρτυς θεῖε Γεράσιμε, ἥτις Μέγα ὠνόμασται Χωρίον Ἅγιε, ὃ

ὑψόθεν, σκέπε καὶ διάσῳζε, ἀπὸ πάσης ἀνάγκης καὶ θλίψεως.

Ἤρθης ἐν χαρᾷ, τμηθεὶς τὸν αὐχένα σου, πρὸς φῶς ἀνέσπερον, καὶ ζωὴν ἀΐδιον, Ὁσιομάρτυς Χριστοῦ Γεράσιμε, ἡμῖν δὲ τὰ σὰ λείψανα, ὡς ὄλβον ἔνθεον, ἐδωρήσω, οἷς πιστῶς προσπίπτοντες, εὐφροσύνην καὶ χάριν λαμβάνομεν.

*Θεοτοκίον.*

Νᾶμα τῆς ζωῆς, Χριστὸν σωματώσασα ζωῆς τὸν πρύτανιν, ὡς πηγὴ ἀκένωτος, ἀεὶ βλυστάνειν Θεοχαρίτωτε, τοῖς πίστει μακαρίζουσι τὰ μεγαλεῖά Σου, καὶ βοῶσι· χαῖρε ἀειπάρθενε, προστασία ἡμῶν καὶ ἀντίληψις.

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Ἀσκήσει μὲν τὸ πρότερον, ἐν τῷ Ἄθῳ ἐμπρέψας, ἀνεπτερώθης Ἅγιε, πρὸς ἀγάπην τὴν θείαν, εἶτα ἀθλήσας νομίμως, τὸν σὲ τρώσαντα ὄφιν, καταβαλὼν ἐδόξασας, τὸν Σωτῆρα τῶν ὅλων ἄθλοις τοῖς σοῖς, παρ' οὗ ἐδοξάσθης Ὁσιομάρτυς, μαρτυρικῇ Γεράσιμε, δόξῃ καὶ εὐκληρίᾳ.

*Θεοτοκίον.*

Σωματικῶς κυήσασα, τὸν ὑπέρθεον Λόγον, ἀκαταλήπτως πάναγνε, εἰς βροτῶν σωτηρίαν, σωματικῶν παθημάτων, καὶ νοὸς ἀθυμία,ς καὶ ψυχικῆς ἀπάλλαξον, τοὺς Σοὺς δούλους κακώσεως καὶ φωτί, τῷ τῆς μετανοίας ἴθυνον Κόρη, ἡμᾶς τοὺς καταφεύγοντας, τῇ θερμῇ Σου πρεσβείᾳ.

*Αἶνοι. Ἦχος α΄. Τῶν οὐρανίων Ταγμάτων.*

Τοῦ Παρακλήτου τὴν χάριν λαβὼν Γεράσιμε, ἀθλητικῶς καθεῖλες, τὸν σὲ τρώσαντα πρώην, καὶ Μάρτυς ἀληθείας περιφανής, ἀνεδείχθης μακάριε· διὸ τὴν μνήμην σου ᾄσμασιν ἱεροῖς, ἑορτάζοντες τιμῶμέν σε.

Ἀπεριτρέπτῳ καρδίᾳ Χριστοῦ τὸ ὄνομα, κηρύξας τοῖς ἀνόμοις, μαρτυρίου τὸ γέρας, ἐδέξω φερωνύμως παρὰ Χριστοῦ, τοῦ λαμπρῶς σε δοξάσαντος, Ὁσιομάρτυς Γεράσιμε θαυμαστέ, Εὐρυτάνων ἐγκαλλώπισμα.

Χωρίον Μέγα ἀγάλλου ἡ Γερασίμου πατρίς· ἐκ σοῦ γὰρ οὗτος ἔφυ, ὡς πανεύοσμον ἄνθος, πιστοὺς εὐωδιάζον μαρτυρικῇ, εὐωδίᾳ καὶ χάριτι, καὶ τὴν αὐτοῦ πανηγύριζε ἐν χαρᾷ, θείαν μνήμην καὶ σεβάσμιον.

Ὁσιομάρτυς Κυρίου θεῖε Γεράσιμε, τῆς Ἐκκλησίας νέον, καὶ θεόσδοτον γέρας, τοὺς πόθῳ προσιόντας τῷ σῷ ναῷ, πάσης ῥύου κακώσεως, καὶ συμπολίταις σου δίδου ταῖς σαῖς λιταῖς, τὴν ταχεῖάν σου ἀντίληψιν.

*Δόξα. Ἦχος πλ. α΄*

Τὴν τῆς ἀσκήσεως στολήν, τοῖς τῶν αἱμάτων ῥείθροις ἐπορφύρωσας, ὑπὲρ Χριστοῦ ἀθλήσας, Ὁσιομάρτυς Γεράσιμε· ὑπεραρθεὶς γὰρ τῶν φθαρτῶν, ὅλον τὸν πόθον ἀνέτεινας, πρὸς ἐφετῶν τὸ ἀκρότατον, νεκρωθεὶς τοῖς ἐν κόσμῳ· καὶ μαρτυρικῶς ἀριστεύσας, τὴν ἀπάτην ἐξεφαύλισας, καὶ τὴν Ἐκκλησίαν τῇ

ἀθλήσει σου εὔφρανας· ὑπὲρ ἧς πρέσβευε Χριστῷ, σῴζεσθαι ἀκλόνητον ἐκ πάσης περιστάσεως.

*Καὶ νῦν. Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάρια.*

Χαίροις Μοναζόντων ἡ καλλονή, καὶ τῆς ἀκακίας λειμὼν ὄντως ἀειθαλής, χαίροις τῶν ἐν Ἄθῳ, ὁ νέος ἑωσφόρος, Ἀκάκιε παμμάκαρ, Ἀγγέλων σύσκηνε.

Ἤθλησας νομίμως ὑπὲρ Χριστοῦ, καὶ διπλῶν βραβείων, ἠξιώθης περιφανῶς· ἐντεῦθεν τὸ Μέγα, Χωρίον ἡ πατρίς σου, ἐν σοὶ Ὁσιομάρτυς, χαίρει Γεράσιμε.

